τὸ εἰργάσω. Ἐὰν δὲ γένῃ.] μιμεῖται ἐνταῦθα τοὺς λέγοντας πρὸς τὰς ἑταίρας καὶ ὀμνύντας, ἐάν μου ὁ πατὴρ ἀποθάνῃ δώσω σοι πάντα καὶ συνοικήσω μετὰ σοῦ. Λυσάμενος ἔξω] ἀντὶ τοῦ ἐλευθερώσας ἐκ τοῦ πορνοβοσκείου. χοιρίδιον δὲ τὸ γυναικεῖον αἰδοῖον λέγουσιν.

CHR. Αὔτ' εἰργάσω.] Puto pro αὐτὰ vel potius αὐτὸ ſcilicet τὸ αἰσχρὸν. Idem enim (inquit) ſæpè patraſti. Sed fortaſſis nihil aliud vult quàm hoc, Sæpè enim plures alios ſic decepiſti, Sic enim ſolent diobolares illæ meretrices quæ maius ſemper pretium quaſi licitatæ ſequuntur. Quæ contra faciunt neque auaræ ſunt, eas Catullus bonas amicas vocat, in Epigrammate, Aufilena, bonæ ſemper laudantur amicæ, Accipiunt pretium quæ facere inſtituunt. Mox addit, Sed data corripere Fraudando, efficitur plus quàm meretricis auaræ. Itaque hic ſenex dicit, ſi non velis mala eſſe mulier, id eſt, ſi mihi operam das, ego te redimam à lupanari & pro pellice habebo, vbi mortuus fuerit meus filius. Imitatur mores adoleſcentum qui ſic apud meretrices de patribus ſeueris loqui ſolent. Ω χοιρίον.] Hypocoriſticon eſt quod in puellas, puſas & putillas dicitur. Eſt enim χοῖρος vel teſte Varrone, pudendum muliebre, vnde Æſchylus Dionyſium Bacchum vocat χοιροψάλαν. Hoc nomine puellas vendidit quidam Megarenſis pauper, vt videre eſt in Acharnenſibus, vbi videbis eã partẽ χοῖρον dici, ἑλλήνων νόμῳ vt ait ille.

Νέος γάρ εἰμι, καὶ φυλάττομαι σφόδρα.
Τὸ γὰρ ὑΐδιον τηρεῖ με, κἄστι δύσκολον,
Κἄλλως κυμινοπριστοκαρδαμογλύφον.
Ταῦτ' οὖν περί μου δέδοικε, μὴ διαφθαρῶ,
Πατὴρ γὰρ οὐδείς ἐστιν αὐτῷ, πλὴν ἐμοῦ.
Ὁ δὲ δὴ καὐτὸς ἐπὶ σὲ κἀμ' ἔοικε θεῖν.
Ἀλλ' ὡς τάχιστα στῆθι, τάσδε τὰς δετὰς
Λαβοῦσ', ἵν' αὐτὸν τωθάσω νεανικῶς,
Οἵως ποθ' οὗτος ἐμὲ πρὸ τῶν μυστηρίων.
Βδε. Ὦ οὗτος, τυφεδανὲ, καὶ χοιρόθλιψ
Ποθεῖν ἐρᾶν τ' ἔοικας ὡραίας σοροῦ.
Οὔτοι καταπροίξει μὰ τὸν Ἀπόλλω τοῦτο δρῶν.
Φι. Ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην.
Βδε. Οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλητρίδα
Τῶν ξυμποτῶν κλέψαντα; Φι. ποίαν αὐλητρίδα;
Τί ταῦτα ληρεῖς, ὥσπερ ἀπὸ τύμβου πεσών;
Βδε. Νὴ τὸν Δί' αὕτη πού 'στι σοί γ' ἡ Δαρδανίς.
Φι. Οὔκ. ἀλλ' ἐν ἀγορᾷ τοῖς θεοῖς δᾳὶς κάεται.
Βδε. Δᾳὶς ἥδε; Φι. δᾳὶς δῆτ' οὐχ ὁρᾷς ἐστιγμένην;
Βδε. Τί δὲ τὸ μέλαν τοῦτ' ἐστὶν αὐτῆς τοὐν μέσῳ;
Φι. Ἡ πίττα δή που καομένης ἐξέρχεται.
Βδε. Ὁ δ' ὄπισθεν, οὐχὶ πρωκτός ἐστιν οὑτοσί;
Φι. Ὄζος μὲν οὖν τῆς δᾳδὸς οὗτος ἐξέχει.
Βδε. τί λέγεις σὺ, ποῖος ὄζος; οὐκ εἶ δεῦρο σύ;
Φι. Ἆ ἆ. τί μέλλεις δρᾶν; Βδε. ἄγειν ταύτην λαβὼν
Ἀφελόμενός σε. καὶ νομίσας εἶναι σαπρὸν,
Κοὐδὲν δυνάμενον δρᾶν. Φι. ἄκουσόν νυν ἐμοῦ.
Ὀλυμπίασι γὰρ ἡνίκ' ἐθεώρουν ἐγὼ,
Ἐφουδίων ἐμαχέσατ' Ἀσκώνδᾳ καλῶς,
Ἤδη γέρων ὤν, εἶτα τῇ πυγμῇ θένων
Ὁ πρεσβύτερος κατέβαλε τὸν νεώτερον.
Πρὸς ταῦτα τηροῦ μὴ λάβῃς ὑπώπια.
Βδε. Νὴ τὸν Δί' ἐξέμαθές γε τὴν Ὀλυμπίαν.

*Puerq; demum addicor in cuſtodiam,*
C *Me diligenter ſeruat aſper filius*
*Sector cumini, ſcalptor & naſturtij*
*Formidat adeò ne mea abſumam bona,*
*Me namque præter nullus eſt illi pater:*
*Sed is videtur hucce rectà currere,*
*Siſte hic parumper, & faces nexas cape,*
*Ego iuuenili more mox illuſero*
*Vt mi ille quondam ſacra ſub myſteria.*
*BD. Heus tu ſenex capularis, Eugiotriba:*
*Parcam videris amare formoſam nimis.*
D *Non ſic abibit, haud inultum id auferes.*
*PH. Litem ex aceto quàm libenter haurias.*
*BD. Eſtne iſta dira illuſio, tibicinam*
*Clepſiſſe conuiuarum. PH. hui tibicinam,*
*An ceu ſepulcro decidens nugas agis?*
*BD. Adeſt tibi illa Dardanis, teſtor Iouem.*
*PH. Minimè in foro fax vritur propter deos.*
*BD. Fax ne iſta? PH. Fax eſt, ecquid hanc pictam vides?*
E *BD. Quid iſtud ergo apparet in medio nigrum?*
*PH. Pix atra, quámque flamma demittit liquans.*
*BD. At qui retrorſum, nónne podex dicitur?*
*PH. Olentis iſte eſt eminens ramus facis.*
*BD. Quid ais, quis ille ramus eſt? non tu hic ades?*
*PH. At at, quid es facturus? BD. hanc abducere*
F *Certum eſt mihi à te, nam tibi eſt ſubleſta vis*
*Parúmque polles. PH. Nunc mihi aurem commoda.*
*Quum fortè ludis intereſſem Olympicis,*
*Ephudioni pugna cùm Aſconda fuit*
*Præclara iam ſeni, vetuſtior pugil*
*Iuuenem ſtatim deiecit aduerſarium,*
*Caue proinde ne tibi occilletur os.*
G *BD. Sanè videris doctus eſſe Olympia.*

Σχόλια. Καὶ φυλάττομαι σφόδρα.] καθὰ δὴ οἱ παῖδες οἱ γέροντες. ἢ παρ' ὑπόνοιαν οἱ παῖδες ταῦτα λέγουσιν. ὑΐδιον ἀπὸ τοῦ υἱοῦ, ὡς ἀπὸ τοῦ πατρὸς πατρίδιον. Κυμινο.] παίζει ἐνταῦθα σμικρολόγον αὐτὸν καὶ ὀξύθυμον λέγων. κυμινοπρίστας γὰρ τοὺς φειδωλοὺς καὶ σμικρολόγους ἐκάλουν. συνέθηκε δὲ τὴν λέξιν μετὰ καρδάμου διαβάλλων αὐτὸν ὡς ὀξύθυμον. Περί μου δέδοικε.] διὰ ἐμὲ φειδωλός ἐστιν. ἵνα μὴ ἐν ἐξουσίᾳ ἔχων τὰ χρήματα διαφθείρω. Πατὴρ γὰρ οὐδείς.] εἰώθασι γὰρ οἱ παῖδες λέγειν μόνος εἰμὶ τῷ πατρί. ἀντὶ δὲ τοῦ εἰπεῖν υἱὸς εἶπε

πατὴρ